οἰκείαν ψυχὴν ἀδικεῖ ὁ τοῦτο ποιῶν· κ' ἂν γὰρ πάντα ἃ ἀφεῖλεν χρήματα ἀδίκως, δῷ τοῖς δεομένοις, οὐδὲν ἧττον ἠδίκησε τὴν ἑαυτοῦ ψυχήν· ἔδει γὰρ αὐτὸν μᾶλλον πεῖσαι τὸν ἔχοντα διαδοῦναι τοῖς δεομένοις καὶ μὴ αὐτὸν βίᾳ λαβεῖν· λέγει τοίνυν ὁ Καλλικλῆς, ὅτι μέγιστον κακὸν ὁ θάνατος· ἡ οὖν ῥητορικὴ μεγίστη ἐστὶν ὡς ῥυομένη τοῦ κακοῦ, ἡ δὲ φιλοσοφία τὸ ἀνάπαλιν καὶ καταφρονεῖται· οὕτως γ' οὖν καὶ ἕλκεται ὁ φιλόσοφος βίᾳ καὶ κατὰ κόῤῥης τύπτεται καὶ οὐδὲν τολμᾷ ποιῆσαι. ὁ τοίνυν Σωκράτης φησίν· ὅτι πῶς ἵνα μὴ τὴν ψυχήν μου ἀδικήσω, ἐπεὶ εἰ ἕλκει μέ τις ὡς πονηρὸν αὐτὸν ἐχέτω εἰδώς, ὅτι ἀδίκως τοῦτο ποιεῖ; λέγει τοίνυν αὐτῷ ὁ Καλλικλῆς· ὅτι ὀφείλεις εἶναι ἐν τῇ πόλει καὶ ποιεῖν τὰ συμφέροντα τῷ δήμῳ· ὁ δὲ συλλογισμόν φησιν· ὅτι ὁ ἐν τῇ πόλει ὢν καὶ τὰ συμφέροντα αὐτοῖς ποιῶν καὶ τὰ πρὸς χάριν λέγων ἀνόητός ἐστιν· ὑποθετικῷ τοίνυν κέχρηται συλλογισμῷ καὶ λέγει· ὅτι εἰ ὁ ποιῶν τὰ συμφέροντα αὐτοῖς ἀνόητός ἐστιν, ἀλλὰ μὴν ἐγὼ ἀνόητος οὐκ εἰμι, οὐ ποιῶ ἄρα τὰ συμφέροντα αὐτοῖς· ἰστέον τοίνυν, ὅτι τὴν πρόσληψιν ὡς ἐπαχθῆ οὐ κατασκευάζει οὐδὲ ἐκτίθεται· ποία δέ ἐστιν ἡ πρόσληψις ἡ λέγουσα· ὅτι ἀλλὰ μὴν ἐγὼ ἀνόητος οὐκ εἰμι· οὐκ ἐκτίθεται οὖν αὐτὴν ὡς φορτικήν· ἄτοπον γὰρ ἑαυτὸν ἐπαινεῖν. λοιπὸν φέρει παράδειγμα ὀψοποιοῦ καὶ ἰατροῦ καί φησιν· ὅτι ὁ μὲν ἰατρὸς δίδωσι καὶ πικρὰ φάρμακα εἰ χρεία καλέσοι, ὁ δὲ ὀψοποιὸς πρὸς τὸ ἡδὺ ἀεὶ βλέπει· εἰ τοίνυν κατηγορηθῇ ὁ ἰατρὸς καὶ πρὸς παιδία τοὺς ἀγῶνας ποιοῖτο, νικήσοι ὁ ὀψοποιός· πῶς γὰρ πεῖσαι ἔχει τοὺς ἀνοήτους, ὅτι διὰ τὸ συμφέρον προσέφερεν πικρὰ φάρμακα, ἀλλὰ πάντες καταψηφίσονται αὐτοῦ· οὕτως τοίνυν καὶ ἐμοῦ ἐὰν κατηγορήσωσι, διὰ τί τοὺς νέους διδάσκω, πότε πεισθήσονται, ὅτι ὑπὲρ τοῦ συμφέροντος αὐτῶν, ἵνα γένωνται καλοὶ καὶ ἀγαθοί; δεῖ τοίνυν ἐπὶ τῆς τοιαύτης πολιτείας τειχίον ἑαυτῷ ποιεῖν κἀκεῖ τὸν πάντα χρόνον ἡσυχάζειν.

---

2 mg. ση. οἷα περὶ χρημάτων διατάττεται χορηγίας τῆς εἰς τοὺς δεομένους

---

2 δῷ ς δῶ M    8 κόῤῥης ς κόρης M    22 ὅτι] seq. ÷ in ras.    24 κατηγορηθῇ ς κατηγορηθη M